**SS 2025 Λυσιστράτη, Agon 525-550 (5. Sitzung) (Karanasiou)**
https://www.schooltime.gr/wp-content/uploads/2013/07/lisistrati-aristofanous_prototipo-keimeno_www.schooltime.gr_.pdf

**Λυσιστράτη** (…)

μετὰ ταῦθ᾽ ἡμῖν εὐθὺς ἔδοξεν σῶσαι τὴν Ἑλλάδα κοινῇ

ταῖσι γυναιξὶν συλλεχθείσαις. ποῖ γὰρ καὶ χρῆν ἀναμεῖναι;

ἢν οὖν ἡμῶν χρηστὰ λεγουσῶν ἐθελήσητ᾽ ἀντακροᾶσθαι

κἀντισιωπᾶθ᾽ ὥσπερ χἠμεῖς, ἐπανορθώσαιμεν ἂν ὑμᾶς.

**Πρόβουλος**
ὑμεῖς ἡμᾶς; δεινόν γε λέγεις κοὐ τλητὸν ἔμοιγε.

**Λυσιστράτη**

σιώπα.

**Πρόβουλος**
σοί γ᾽ ὦ κατάρατε σιωπῶ᾽γώ, καὶ ταῦτα κάλυμμα φορούσῃ

περὶ τὴν κεφαλήν; μή νυν ζῴην.

**Λυσιστράτη**

ἀλλ᾽ εἰ τοῦτ᾽ ἐμπόδιόν σοι,

παρ᾽ ἐμοῦ τουτὶ τὸ κάλυμμα λαβὼν

ἔχε καὶ περίθου περὶ τὴν κεφαλήν,

κᾆτα σιώπα

**Γυνὴ Γ.**
καὶ τοῦτον τὸν καλαθίσκον.

**Λυσιστράτη**
κᾆτα ξαίνειν ξυζωσάμενος

κυάμους τρώγων·

πόλεμος δὲ γυναιξὶ μελήσει.

**Χορὸς Γυναικῶν**

αἰρώμεθ᾽ ὦ γυναῖκες ἀπὸ τῶν καλπίδων, ὅπως ἄν

ἐν τῶι μέρει χἠμεῖς τι ταῖς φίλαισι συλλάβωμεν.

**Χορὸς Γυναικῶν**

ἔγωγε γὰρ <ἄν> οὔποτε κάμοιμ᾽ ἄν ὀρχουμένη,

οὐδὲ τὰ γόνατα κόπος ἕλοι μου καματηρός·

ἐθέλω δ᾽ ἐπὶ πᾶν ἰέναι

μετὰ τῶνδ᾽ ἀρετῆς ἕνεχ᾽, αἷς

ἔνι φύσις, ἔνι χάρις, ἔνι θράσος,

ἔνι δὲ σοφόν, ἔνι <δὲ> φιλόπολις

ἀρετὴ φρόνιμος.

**Χορὸς Γυναικῶν**

ἀλλ᾽ ὦ τηθῶν ἀνδρειοτάτων καὶ μητριδίων ἀκαληφῶν,

χωρεῖτ᾽ ὀργῇ καὶ μὴ τέγγεσθ᾽· ἔτι γὰρ νῦν οὔρια θεῖτε.